quoque conſuetudinem mutare eſt difficile, quia naturæ perquã ſimilis eſt, quemadmodum etiam Euenus inquit:

Conſuetudo quidem rerum tractatio longa eſt:
Quam procedentem naturam dicimus eſſe.

Quid igitur continentia ſit & incontinentia, quid tolerantia & mollities: quámque hi habitus inter ſe rationem habeant, dictum iam eſt.

A τοῦτο καὶ τὸ ἔθος χαλεπὸν, ὅτι τῇ φύσει ἔοικεν, ὥσπερ καὶ Εὔηνος λέγει,

Φημὶ πολυχρόνιον μελέτην ἔμμεναι φίλε· καὶ δὴ
Ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι.

τί μὲν οὖν ἐστὶν ἐγκράτεια, καὶ τί ἀκρασία, καὶ καρτερία καὶ μαλακία, καὶ πῶς ἔχουσιν αἱ ἕξεις αὗται πρὸς ἀλλήλας, εἴρηται.

CAPVT XII.

At verò de voluptate & dolore contemplari eius eſt qui circa ciuilem facultatem philoſophatur. is enim finis eius architectus eſt, ad quem ſpectantes vnumquodque tum malum, tum bonum appellamus. Præterea de his conſiderare neceſſarium etiam eſt: quippe cùm virtutem moralem & vitium circa voluptates, & dolores conſtituerimus: & fœlicitatem plerique exiſtere cum voluptate aſſerant: vnde etiam beatum à verbo χαίρειν, quod eſt gaudere, μακάριον nominarint. Quibuſdam igitur nulla voluptas neque per ſe neque ex accidenti eſſe bonum videtur. non enim poſſe idem & bonum eſſe & voluptatem aſſerunt. alij nonnullas bonas, pleraſque prauas eſſe opinantur: tertia ſententia præterea eſt, etiam ſi omnes ſint bonæ, optimum tamen voluptatem eſſe nullo modo poſſe. Atque omnino quidem non eſſe bonum propterea dicũt, quòd omnis voluptas generatio eſt ſenſibilis in naturam: nulla enim generatio finibus eſt cognata, verbi cauſa, nulla ædificatio domus eſt. Temperans præterea voluptates fugit: item prudens quod dolore vacat, perſequitur, non quod iucundum eſt: voluptates etiam prudentiæ ſunt impedimento. atq. eò magis, quò quis magis oblectatur, vt in venereorũ voluptate contingit: in qua conſtitutus nemo intelligere quippiam poteſt. Huc accedit, quòd voluptatis nulla ars eſt: cùm tamen bonum omne opus artis eſſe cenſentur. Adde quòd pueri quoque & beſtiæ voluptates perſequuntur. Quòd autem non omnes eſſe probas dicant, propterea eſt, quia turpes etiam nonnullæ, & probroſæ, & noxiæ quoque reperiuntur, quippe cùm morboſa ſint quædam ex iis quæ voluptate afficiunt. At non optimum eſſe voluptatem aſſerunt, ob id quia non finis, ſed generatio eſt. Atque ea quidem quæ dicuntur, huiuſmodi ſunt.

B

Κεφάλαιον ιβ.

Περὶ δὲ ἡδονῆς καὶ λύπης θεωρῆσαι, τοῦ τὴν πολιτικὴν φιλοσοφοῦντος· οὗτος γὰρ, τοῦ τέλους ἀρχιτέκτων, πρὸς ὃ βλέποντες, ἕκαστον, τὸ μὲν, κακόν· τὸ δ᾽, ἀγαθὸν ἁπλῶς λέγομεν. ἔτι δὲ, καὶ τῶν ἀναγκαίων ἐπισκέψασθαι περὶ αὐτῶν· τήν τε γὰρ ἀρετὴν καὶ τὴν κακίαν τὴν ἠθικὴν περὶ λύπας καὶ ἡδονὰς ἔθεμεν· καὶ τὴν εὐδαιμονίαν οἱ πλεῖστοι μεθ᾽
C ἡδονῆς εἶναί φασι· διὸ καὶ τὸν μακάριον ὠνομάκασιν ἀπὸ τοῦ χαίρειν. Τοῖς μὲν οὖν δοκεῖ οὐδεμία ἡδονὴ εἶναι ἀγαθὸν, οὔτε καθ᾽ αὑτὸ, οὔτε κατὰ συμβεβηκός· οὐ γὰρ εἶναι τὸ αὐτὸ ἀγαθὸν καὶ ἡδονήν. Τοῖς δ᾽, ἔνιαι μὲν εἶναι, αἱ δὲ πολλαὶ, φαῦλαι. Ἔτι δὲ, τούτων τρίτον, εἰ καὶ πᾶσαι ἀγαθὸν, ὅμως μὴ ἐνδέχεσθαι εἶναι τὸ ἄριστον ἡδονήν. Ὅλως μὲν οὖν οὐκ ἀ-
D γαθόν· ὅτι πᾶσα ἡδονὴ γένεσίς ἐστιν εἰς φύσιν αἰσθητή· οὐδεμία δὲ γένεσις συγγενὴς τοῖς τέλεσιν. οἷον οὐδεμία οἰκοδόμησις οἰκία. Ἔτι, ὁ σώφρων φεύγει τὰς ἡδονάς. Ἔτι, ὁ φρόνιμος τὸ ἄλυπον διώκει, οὐ τὸ ἡδύ. Ἔτι ἐμπόδιον τῷ φρονεῖν αἱ ἡδοναί· καὶ ὅσῳ μᾶλλον χαίρει, μᾶλλον· οἷον τὴν τῶν ἀφροδισίων· οὐδένα γὰρ ἂν δύνασθαι νοῆσαί τι ἐν αὐτῇ. Ἔτι, τέχνη οὐδεμία ἡδονῆς· καίτοι
E πᾶν ἀγαθὸν, τέχνης ἔργον. Ἔτι, τὰ παιδία καὶ τὰ θηρία διώκει τὰς ἡδονάς. Τοῦ δὲ μὴ πάσας σπουδαίας· ὅτι εἰσὶ καὶ αἰσχραὶ καὶ ὀνειδιζόμεναι, καὶ ὅτι βλαβεραί· νοσώδη γὰρ ἔνια τῶν ἡδέων. ὅτι δ᾽ οὐκ ἄριστον ἡ ἡδονή· ὅτι οὐ τέλος, ἀλλὰ γένεσις. τὰ μὲν οὖν λεγόμενα σχεδὸν ταῦτ᾽ ἐστίν.

CAPVT XIII.

At enim non effici ex his vt voluptas aut bonũ aut optimum non ſit, hinc perſpicuum erit: primum, quia bonum

Κεφάλαιον ιγ.

Ὅτι δ᾽ οὐ συμβαίνει διὰ ταῦτα μὴ εἶναι ἀγαθὸν, μηδὲ τὸ ἄριστον, ἐκ τῶνδε δῆλον. πρῶτον μὲν, ἐπεὶ τὸ ἀγαθὸν διχῶς.

τὸ μὲν